# ΑΡΓΥΡΟΠΟΥΛΕΙΑ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΑΝ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007

## ΤΟΥ ΣΟΦΩΤΑΤΟΥ ΚΑΙ ΛΟΓΙΩΤΑΤΟΥ

### ΚΥΡΟΥ ΙΩΑΝΝΟΥ ΔΙΔΑΣΚΑΛΟΥ ΤΟΥ ΑΡΓΥΡΟΠΟΥΛΟΥ

# ·ΜΟΝΩΔΙΑ

### ΕΙΣ ΤΟΝ ΑΥΤΟΚΡΑΤΟΡΑ ΙΩΑΝΝΗΝ ΤΟΝ ΠΑΛΑΙΟΛΟΓΟΝ·

---

Φεῦ· εἰ δὲ δὴ φύσεις ἀνθρώπων ἄλλοτε ἄλλαις τύχαις λίθων ἠλλάξαντο φύσιν, μῦθος μὲν ἂν καὶ οἱ τῶν μύθων φαῖεν πατέρες, αὐτὸς δὲ ἄντικρυς λίθος τῇ παρούσῃ γέγονα ξυμφορᾷ. Ὢ πάθους, παντὸς μὲν ἀψαμένου ψυχῆς, μηδενὸς δὲ ἐλάττονος τῶν ὅσα καὶ πλάττειν ἄν τις ἐθέλοι, μὴ ὅτι καὶ γένοιτ' ἄν. Ἐχρῆν μηδὲ τὴν ἀρχὴν γενέσθαι τινὰ ἢ γεγονότα μὴ τοσούτοις

Περιλαμβάνεται ἐν τῷ Παρισιακῷ 1191, φ. $14^{β}$ - $16^{α}$, αἰῶνος ιε' (N), Παρισιακῷ 817, φ. $146^{β}$ $148^{β}$, αἰῶνος ις' (Π), Βατικανικῷ 1098A, φ. $121^{α}$ - $123^{β}$, αἰῶνος ις' (B), Ἀμβροσιακῷ M 41 sup. φ. $46^{α}$ - $50^{α}$, αἰῶνος ιε' (A), Μαδριτείῳ 115 (4636), φ. $156^{α}$ - $159^{β}$, αἰῶνος ιε' (M).

Ξ=ἅπαντες οἱ κώδικες.

Ἐπιγραφὴ Τοῦ σοφωτάτου - Παλαιολόγου NΠΒΑ : Ἰωάννου τοῦ Παλαιολόγου μονῳδία εἰς τὸν βασιλέα Ἰωάννην M. Ἐν τῷ B ἄνω νεωτέρᾳ χειρὶ καὶ τάδε: Jesus Christus Rex :- + Egregii ac praeclarissimi doctoris dn̄i Johannis argiropuli constantinopolitani oratio in serenissimum imperatorem Johannem paleologum Oratio funebris :-

1. Φεῦ NΠΒΜ: εὖ A    3. ξυμφορᾶ NΠΒΑ: συμφορᾶ M    4. μηδενὸς NΠΒΜ: μὴδενὸς A    5. ἐθέλοι NBAM : ἐθέλου Π    μὴ ὅτι ἔγραψα: μηότι ἐκ τοῦ τὸ πρῶτον γραφέντος μὴότι M: μηότι NΠΒΑ    6. μηδὲ ἔγραψα: μὴδὲ Ξ    τὴν ἀρχὴν ΠΑ: τηναρχὴν NB: τηναρχὴν M



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

ἐντυγχάνειν κακοῖς. Ἔπεισι γάρ μοι πολλάκις, τοσαῦθ' ὁρῶντι περὶ τὸν βίον δεινὰ μηδέν τε εἶναι τῶν ἱσταμένων καὶ ὃ φανὲν αὐτίκα μὴ λέλυται, μάτην οἴεσθαι ταυτὶ πάντα καὶ ὡς ἔτυχεν εἶναι· καὶ εἰ μὴ λόγος παρῆν, ᾧ δεῖ πείθεσθαι μᾶλλον ἢ τοῖς δημοκριτείοις ἐκείνοις ἀτόμοις, πάλαι ἂν ἔξω λόγων καὶ τῆς τοῦ παντὸς ἐφερόμην διακοσμήσεώς τε καὶ τάξεως.

Ὢ πόσαι μὲν ᾠδαὶ θρήνων, πόσαι δὲ γεγόνασιν οἰμωγαί, ὅτε παρῆν καὶ εἰς ὃν ὁρᾶν εἴχομεν καὶ ὃς περιὼν πᾶσαν ἡντινοῦν ἡμῖν διέλυε ξυμφοράν. Νυνὶ δὲ, ἀπελθόντος ἐκείνου καὶ μηκέτ' ὄντος, εἰς τίνα μὲν ἀποβλέπειν ἐξέσται, τίς δὲ ὁ κουφίσων τὴν ξυμφοράν; Ποῖος δὲ ὅρος θρήνων ἢ τί δακρύων κείσεται μέτρον; Ἢ που Νιόβης μὲν ἔσται δάκρυα καὶ ὅσα πηγὰς δακρύων ἀφίησι, θρῆνοι δὲ ἀηδόνος καὶ ἣν ἠδίκησεν ὁ Τηρεύς.

Νῦν ἡμῖν ὁ πάντα ἄγων καὶ φέρων χρόνος αὐτὴν ἐπέθηκε φέρων τὴν κορωνίδα τῶν ξυμφορῶν. Οὔτε γὰρ ἡμῖν ἐλπὶς ἔτι παθεῖν εὖ, οὕτω τῶν πραγμάτων ἀπολωλότων, καὶ τὸ σώζεσθαι δὲ οὐκ ἔστιν, εἰ μὴ θεός τις ὥςπερ ἐκ μηχανῆς τινος παρακύψειε. Νῦν πάντα μὲν πέπτωκε τὰ τῶν Ἑλλήνων σεμνὰ, ἐλπὶς δὲ ἐξέπτη οὐδὲ πίθου ὑπὸ χείλεσιν ἔμεινεν. Αἰδὼς δὲ καὶ Νέμεσις προλιπόντ' ἀνθρώπους εἰς Ὄλυμπον ᾤχοντο. Νῦν γένος μὲν ὁτιοῦν βαρβάρων φαιδροὶ καὶ ὅσοι τοῖς ἡμετέροις πολέμιοι, κατηφεῖς δὲ ἡμεῖς καὶ κατεπτηχότες τῷ φόβῳ καὶ οἵους ἂν ἐν κλυδωνίῳ κυβερνήτης ἐάσοι χειμαζομένους. Ὢ φήμης, ἣ διὰ

1. τοσαῦθ' ΝΠΒΑ: **λείπει Μ** ὁρῶντι ΝΠΒΑ: ὁρῶντι **ἐκ τοῦ τὸ πρῶτον γραφέντος** ὁρῶντα 2. μηδέν τε ΜΠΒΑ: μηδε τ^ε Ν 3. αὐτίκα ΝΠΒΑ: αυτικα Μ 5. δημοκριτείοις ΝΠΒΑ: δημοκριτείοις (**τὸ πρῶτον** δημοκρατείοις) Μ 9 ξυμφορὰν νυνὶ ΠΒΑΜ: ὑμφορὰν ὑνὶ **κενῶν μενουσῶν τῶν θέσεων τοῦ ξ καὶ ν Ν**
11. ξυμφοράν ΠΒΑΜ: ὑμφοράν Ν ποῖος ΠΒΑΜ: ποιος Ν
15. ξυμφορῶν ΠΒΑΜ: ὑμφορῶν Ν 20. προλιπόντ' ΝΒΑ: προλιπὸντ' Π: παραλιπόντ' Μ 22. κατεπτηχότες ΝΒ: καταπεπτηχότες ΠΑΜ 23. ἐάσοι χειμαζομένους ΝΠΒΑ: χειμαζομένους ἐάσοι Μ ἣ ΠΒΜΑ: ἡ Ν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

πάσης γῆς καὶ θαλάττης διήκει κτείνουσά τε καὶ κατατέμνουσα τὰς τῶν Ἑλλήνων ψυχάς, οἵ, ζῆν οἰόμενοι πρότερον καὶ φωτὸς ἀπολαύειν ἡδέος, νυνὶ τεθνάναι δοκοῦσι καὶ μηκέτ' εἶναι, πεπόνθασί τε οἷον οἱ βληθέντες σκηπτῷ. Ἕκτωρ μὲν οὖν τῆς Τροίας ἀστραβὴς κίων ἐξύμνηται τῷ τοῦ Μέλητος. Ἑστάναι γάρ φησι τὸ Ἴλιον ἑστῶτος ἐκείνου πεπτωκέναι τε αὐτίκα πεσόντος· *οἷος γάρ σφιν ἔρυτο πύλας καὶ τείχεα μακρά*. Σοῦ δέ, μέγιστε βασιλέων, ἐξ ἀνθρώπων οἰχομένου καὶ μηκέτ' ὄντος, οὐ μία πόλις οὐδ' ἔθνος ἕν, ἀλλ' Ἑλλήνων ἅπασαι πόλεις καὶ γένη πάντα τὰ τῶν ἡμετέρων ἐπ' οὐδενὸς αὐτίκα μάλα βεβήκασιν ἀσφαλοῦς, σείεταί τε πάντα πόλεων τείχη καὶ πεσεῖν ἤδη δοκεῖ καὶ δουλεύειν βαρβάροις.

Ἔδει δή, πρὶν ἢ τοσούτου πάθους ἀνίαν αἰσθέσθαι καὶ τοσαύτην ἡμᾶς Ἰλιάδα περιεστηκέναι κακῶν, προαπελθεῖν καὶ μήτε τοσούτων ἀγαθῶν ἐστερῆσθαι γευσαμένους μόνον μηδὲ γενομένους ἐκείνων διακορεῖς, μήτε μὴν ἅπαντα προςδοκᾶν ὅσα στρατὸς ἐν μάχῃ πεσόντος τοῦ στρατηγοῦντος ἢ ὅσα πόλεις ὧν πέπτωκε τείχη, τῶν πολεμίων ἐπιπεσόντων αὐτοῖς ὅπλοις καὶ αὐτῷ θυμῷ καὶ πυρί. Ἦν ἄρ' ἐκεῖνα πάντα ὀνείρατα, μικρόν τε εὐφράναντα

1. θαλάττης ΝΒΑΜ: θαλάσσπτης Π 2. τῶν ΠΒΑΜ: τῶ Ν 3. νυνὶ ΝΠΒΑ: νῦν Μ τεθνάναι ΠΑ: τεθνᾶναι ΝΒΜ 5. κίων ΝΠΒ: κίων ἐκ τοῦ τὸ πρῶτον γραφέντος κύων ΑΜ ἑστάναι Μ: ἑστάναι τε Α: ἑστάναι τὲ ΠΝΒ 6. ἴλιον ΠΒΜ: ἴλιον Α: ἥλιον Ν τε Α: τὲ ΝΠΒΜ οἷος ΠΒΑ: οἷος ΝΜ 8. μηκέτ' ὄντος Α: μηκέτ' ὄντος ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐόντος Μ: μηκετό..τος Β: μηκέτο(τὸ πρῶτον μηκετο..τος τῶν μεταξὺ διεξεσμένων Π: μηκέ μένοντος κατόπιν χώρου κενοῦ Ν 9. ἑλλήνων ΝΠΒΜ: ἑλήνων Α τὰ ΑΠ: λείπει ΝΒΜ 14. κακῶν περιεστηκέναι ΝΠΒ: περιεστηκέναι κακῶν Μ: περιεστηκέναι Α

15. γευσαμένους μόνον ΒΑΜ: μόνον[β] γευσαμένους[α] Ν: μόνον γευσαμένους Π μηδὲ ΝΑ: μηδὲ ΠΒΜ 17. στρατηγοῦντος ΝΠΒΑ: στρατηγοῦτος Μ 19. ἄρ' ΝΠΒΑ: ἄν Μ μικρόν τε ΑΜ: μικρὸν τὲ ΝΠΒ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

χρόνον ἔπειτ' ἀπέπτη καὶ τὴν ἐφ' αὐτοῖς ὅτι περ ᾤχετο λύπην οὐ μετρίαν καταλιπόντα. Λέγω δὲ ὅσα περ ἡμᾶς αὐτοὺς καὶ γένος ἅπαν Ἑλλήνων εὖ αἰεὶ διετέλει ποιῶν ὁ μέγιστος βασιλεύς, τοῦτο μὲν τὴν μεγίστην ταυτηνὶ τῶν ὑπὸ τὸν ἥλιον σώζων, μηδ' ἀναπνεῦσαι οἵαν τε οὖσαν, μὴ ὅτι περ ἑαυτοῖς ὁτιοῦν ἄξιον ἐν καλῷ τῳ σχήματι διαπράξασθαι καὶ ναυσὶ καὶ ὅπλοις καὶ στρατιώταις καὶ τείχεσιν, ἃ κάλλει τε ὁμοῦ καὶ μεγέθει καὶ τῷ πείρας ἡστινοσοῦν πολεμίων κρείττω κατεσκευάσθαι κοσμεῖ τε ἅμα καὶ σώζει τὴν πόλιν καὶ τὴν μεγαλοψυχίαν ὅση τις τοῦ βασιλέως δηλοῖ, τοῦτο δ' Αἰγαῖον καὶ τἆλλα πλέων πελάγη καὶ τὴν τοῦ Πέλοπος, οὐχ ἅπαξ οὐδὲ μετρίως ὡς ἄν τις εἴποι διῃρημένην καὶ στασιάζουσαν, φρονήσει καὶ ὅπλοις ῥᾷστα παραστησάμενος καὶ πᾶσαν ὑφ' αὐτῷ ποιησάμενος. Ὢ πόσα μὲν ἀπ' ἐκείνης ὁ βασιλεὺς ἡμῖν ἔστησε τρόπαια, ὅπως δὲ ἄγαν ἡμέρως τοῖς πολεμίοις ἐχρήσατο, τοσοῦτο φαύλου παντὸς φανεὶς κρείττων ἢ τοῦ δοκεῖν ἀμηγέπῃ χαρίζεσθαι τῷ θυμῷ, ὅσον ἐκείνους ἐνίκα τοῖς ὅπλοις. Οὐ γὰρ ᾤετο πρὸς βασιλέως Ἕλληνος εἶναι, νικῶντα τοὺς πολεμίους, αὐτὸν ἥττω γενέσθαι θυμοῦ, οὐδ' οἷς βαρβάρων καλῶς ποιοῦντες ὑστερίζουσιν Ἕλληνες, τούτοις ἴσον ἐκείνοις ἢ μᾶλλον ὀφθῆναι χρώμενον. Ταῦτά τοι σοφίᾳ μὲν καὶ ὅπλοις ἀρχὴν, φιλανθρωπίᾳ

2. καταλιπόντα ΝΒΑΜ: καταλίποντα Π 3. εὖ αἰεὶ ΠΒΑ: εὖ ἀεὶ Ν: εἶναι ἢ Μ 4. σώζων ΒΠΑΜ: σῶζων Ν μηδ' ἔγραψα: μὴδ' Ξ 5. οἵαν Μ: οἵάν ΝΠΒΑ μὴ ὅτι ἔγραψα: μὴότι Π: μηότι ΝΒΑΜ 6. τῳ Β: τω Π: τῷ ΝΑΜ 7. κάλλει ΝΒΑΜ: κάλλα Π πείρας ΝΠΑΜ: πείρας ἐκ τοῦ τὸ πρῶτον γραφέντος πεῖρας Β 8. κατεσκευάσθαι ἔγραψα: κατεσκευάσθαι ἐκ τοῦ τὸ πρῶτον γραφέντος κατεσκευᾶσθαι Μ: κατεσκευᾶσθαι ΝΠΒ: κατασκευάσθαι Α 10 τἆλλα ἔγραψα: τ'ἄλλα Α: τᾶλλα ΝΠΒΜ 15. κρείττων ΝΠΑΜ: κρείττων ἐκ τοῦ τὸ πρῶτον γραφέντος κρεῖττον Β 16. ἐκείνους ΝΠΒΜ: ἐκίνους Α 17. τοὺς ΝΒΑΜ: τοὺς ἐκ τοῦ τὸ πρῶτον γραφέντος τοῦς Π 20. ταῦτά ΝΠΒΑ: ταῦτα Μ

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

δὲ καὶ τὴν παρὰ τῶν πολεμίων εὔνοιαν αἰεὶ προςεπεκτᾶτο, ἡδὺς μὲν καὶ τοῖς ὅλοις οὐκ ἀνιαρὸς οὑτωςί, φοβερὸς δὲ ἐκείνως οὐχ ἧττον ἤ περ ὁ Πηλέως φαινόμενος. Χωρὶς δὲ ἐκείνων, ὅσας ὑπερορίας τὰς μὲν διὰ γῆς, τὰς δὲ διὰ θαλάττης ὑπέστη, πονῶν μὲν αἰεί, μηδενὸς δὲ ἀφιστάμενος τῶν ὅσα πρὸς τὴν τῶν Ἑλλήνων ἐλευθερίαν τείνει καὶ ὧν αὐτῷ μὴ πραχθέντων οὐδὲ τὸ ζῆν ἡγεῖτο καλόν, ἐλάττους ἂν ὀφθεῖεν, οἶμαι, τοῦ ἐγχειρήματος, εἰ ξυνελθόντες ἅπαντες εἰς ταὐτὸν τετολμηκότες εἶεν ἁπάσας πειρᾶσθαι λόγῳ διεξελθεῖν ἢ κατ᾽ ἀξίαν πως ἐξυμνῆσαι.

Ὦ χρόνων ἐκείνων, οἳ τοιοῦτον ἡμῖν ἡγεμόνα καὶ κοινὸν πρύτανιν τὸν βασιλέα καλῶς ποιοῦντες ἀνέδειξαν. Οὐ γὰρ τοῖς μὲν ἐνευδοκιμῶν ἦν, τῶν δ᾽ ὥςπερ ἄπειρος ἥπτετο, ἢ τὰ μὲν ποιεῖν ἠναγκάζετο, τὰ δὲ προεῖτο τῶν ἀναγκαίων· ἀλλὰ πάντα ἅμα καὶ μεθ᾽ ὑπερβολῆς ποιῶν διετέλει καὶ ὡς ἄν τις ἐκείνων ἓν οὐδὲ εἷς. Ὦ κοινῆς εὐζωίας ἐκείνης, ᾗ τότε μὲν ἀγαθῇ τύχῃ ξυνῆμεν ἅπαν γένος Ἑλλήνων, νυνὶ δὲ ἀφαιρεθέντες ἐκείνης φθονερῷ τινι δαίμονι οὐ πολλῷ τῶν οὐκέτ᾽ ὄντων διενηνόχαμεν. Ἢ οὐκ ἄντικρυς ἐκείνοις ἐοικέναι δοκοῦμεν, ψυχὴν ἣν εἴχομεν μίαν, τὴν τοῦ

1. αἰεὶ ΠΒΑΜ: ἀεὶ Ν προςεπεκτᾶτο ἔγραψα: προςεπικτᾶτο Μ: προςεκτᾶτο ΝΠΒΑ 2 ἀνιαρὸς ΝΒΑΜ: ανιαρὸς Π 5. αἰεὶ ἔγραψα: ἀεὶ Ξ δὲ ΝΠ: λείπει ΒΑΜ 7-8. ξυνελθόντες ΠΒΑΜ: ϋνελθόντες μένοντος κενοῦ χώρου διὰ τὸ πρῶτον γράμμα Ν 8. ταὐτὸν Ν: ταυτὸν ΠΒΑΜ 9 πως ΠΒΑΜ: π μένοντος χώρου κενοῦ διὰ τὰ λοιπὰ γράμματα Ν 10. χρόνων ΠΒΑΜ: χρόνον (ω) Ν τοιοῦτον ΠΒΜ: τοιόῦτον Ν: τοσοῦτον Α 12 ἐνευδοκιμῶν ἔγραψα: ἐναδοκιμῶν ΝΠΒΑ: εὐδοκιμῶν Μ δ᾽ ὥςπερ Μ: δὲ ὡς ΝΠΒΑ 13. δὲ προεῖτο ΝΠΒ: δὲ ποιεῖτο Α: δ᾽ ἐποιεῖτο Μ 14. ὑπερβολῆς ΝΒΑΜ: ὑπερβολῆς ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἀπερβολῆς Π ὡς ἄν τις ΝΠΒΑ: ὡσάντις Μ εἷς ΒΑΜ: εἴς Ν: εἶ Π 15 ξυνῆμεν ΠΒΑΜ: ξανῆμεν Ν 18. τὴν ΝΒΑΜ: τῶν Π

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

βασιλέως φημὶ πρόνοιαν, ἀπολωλεκότες, μᾶλλον δ' ἐκεῖνον αὐτὸν, ὃς ἦν ἡμῖν ἀντὶ πάντων ὧν ἂν εἰπεῖν ἔχοι τις ἀγαθῶν;

Οὐ γὰρ δι' αὐτὸν, ὡς ἔοικεν, ἄρχειν ἡρεῖτο, οὐδ' ὥςπερ ἕρμαιον τῇ τύχῃ τὴν δυναστείαν εὑρὼν, ἐν βασιλείας προσχήματι τυραννικῶς ἐχρῆτο τοῖς ὑπηκόοις, ἀλλὰ τὸν ἱερὸν ἐκεῖνον ἐν νῷ λαβὼν τοῦ θείου Πλάτωνος λόγον, ὃς τότε δή που τὰς πόλεις εὖ ἕξειν, ὅτε βασιλεύσουσιν οἱ φιλόσοφοι ἢ οἱ βασιλεῖς φιλοσοφήσουσιν, ἀπεφαίνετο, οὐκ ᾤετο δεῖν βασιλεύειν μὲν, μὴ φιλοσοφεῖν δὲ τὸν οὐκ ἐκ διαδοχῆς μόνον, ἀλλὰ καὶ δι' ἀρετὴν πρωτεύειν λαχόντα. Τῷ γὰρ ἑτέρῳ πρὸς θεοῦ βασιλεὺς διοίσει τυράννου, εἰ καὶ πρὸς ἀμφοῖν οὐκ εὖ ὁμοίως ταῖς πόλεσι γένοιτο; Βασιλείας μὲν γὰρ ἔργον καὶ τέλος τοὺς ὑπηκόους εὖ ἔχειν παρασκευάζειν, τυραννίδος δὲ τοὐναντίον. Εἰ δὴ φιλοσοφίας ἐκεῖνο χωρὶς βασιλεία ποιεῖν οὐ δεδύνηται, πῶς οὐκ ἄντικρυς ἄνευ φιλοσοφίας βασιλεία τυραννίδι ταὐτὸν;

Οὐκοῦν φιλοσοφεῖν ὁ πάντα ἄριστος ἐκεῖνος ἔκρινε δεῖν καὶ δυοῖν ἐκείνοιν, φιλοσοφίᾳ καὶ βασιλείᾳ, ἣν ἑωρῶμεν ἀρχὴν σὺν ἁρμονίᾳ ξυνέθηκε μουσικῇ, δι' ἧς ἐσῴζετο μὲν ἡ κοινὴ τοῦ γένους ἑστία, ἐσῴζοντο δὲ καὶ ὅσαι νῦν ὑφ' αὐτὴν καὶ χῶραι καὶ πόλεις καὶ ἡ τῶν Ἑλλήνων φωνὴ καὶ ἅπαν ἔθος καὶ νόμος πάτριος. Οὑτωσὶ δὲ ἄρα πᾶν εἶδος φιλοσοφίας τῷ βασιλεῖ τελείως κατώρθωτο καὶ ὡς οὐδενὶ τῶν ἄλλων οὐδὲν, ὥςτε ἐξεῖναι πάνθ' ὁντινοῦν μηδὲν ὑποστειλάμενον λέγειν, ὡς, εἴπερ ἔξω βασιλικῶν φροντίδων καὶ στρατηγικῆς τέχνης ὁ τοῦ βασιλέως ἦν νοῦς, οὐδὲν ἔλαττω τοῖν φιλοσόφοιν καὶ ὅσοι κατ' ἐκείνους ἴσχυσεν ἄν, ὁπότε νῦν δι-

1. ἀπολωλεκότες ΝΠΒΑ: ἀπολελωκότες Μ  2. ἂν ΝΠΒΑ: ἀν Μ  3. αὐτὸν ΝΒΑΜ: αὑτὸν Π  ἡρεῖτο ΠΒΑΜ: ἠρεῖτο Ν  5. ὑπηκόοις ΝΠΒΑ: ὑπηκόοις μετὰ πολεμίοις διαγεγραμμένον Μ  8. ᾤετο ΠΒΑΜ: ωετο Ν  βασιλεύειν ΝΠΒΑ: βασιλεύειν ἐκ τοῦ τὸ πρῶτον γραφέντος βασιλεῦσαι Μ  15. ταὐτὸν ἔγραψα: ταυτὸν Ξ  25. νῦν ΠΒΑΜ: νῦ Ν

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2007

κάζων μὲν τοὺς οἰκείους, μαχόμενος δὲ τοῖς βαρβάροις, τό γ' ἐκείνων τὰ δεύτερα δύνασθαι λαμβάνειν οὐκ ἀφῃρέθη.

Ὦ ξυνουσιῶν ἐκείνων, ὧν αὐτὸς αἰεί τι πλεῖον λαμβάνων ἢ διδοὺς καὶ ἀκούων ἢ λέγων ἐξῄειν. Ὦ γλώττης ἐκείνης, τῇ Νέστορος ἐοικυίας. Ὦ πάντα φέρων χρόνος, οἷον ἀπήνεγκας ἀγαθὸν, οἵαν ἰδέαν ἀπέκρυψας, οἷον ἐξεῖλες κοινὸν τοῖς Ἕλλησιν ὀφθαλμόν. Ὦ τῆς Ἑλλάδος ἥλιε βασιλεῦ, ποῖ ποτε γῆς ἔδυς, λιπὼν ἡμᾶς ἐν νυκτομαχίᾳ δεινῇ, καθ' ἣν καὶ βάλλομεν καὶ βαλλόμεθα; Ὦ πάντα ἡμεῖς δυστυχεῖς, ποῦ νῦν πραγμάτων ἑστήκαμεν, ἢ ποῖ πρόεισι τὰ ἡμέτερα; Ἦ που πρὸς τοῖς ἄλλοις ἅπασιν ἃ λαβὼν ᾤχετο καὶ τὸ θαρρεῖν ἡμᾶς ἔχειν περὶ τῶν ὅλων ὁ βασιλεὺς προςαφείλετο, καὶ γέγονε τῷ ὄντι οἷον εἰ πάντα ξυντεθνήκει τῷ βασιλεῖ. Τίς ἄρα, τίς ἀρκέσαι τοσούτῳ πένθει δυνήσεται, ἢ πῶς ἂν ἀξίως τουτὶ τὸ κοινὸν ἀνακλαύσεται πάθος; Νῦν ἔδει γῆν μὲν ἅπασαν κατασείεσθαι, ἥλιον δὲ νεφέλαις καλύπτεσθαι, ἀστέρας δὲ, τὸν σφῶν αὐτῶν χῶρον λιπόντας, εἰς γῆν φερομένους ἐπείγεσθαι. Οὐ γὰρ ἐπὶ Φαέθοντι τότ' ἐχρῆν μᾶλλον ἢ νυνὶ τοιαῦτα τὴν οἰκουμένην παθεῖν. Νῦν ὥρα ξυναυλίαν ξυστησαμένους τὰς ἑαυτῶν ἡμῶν ἅπαντας ὀδύρεσθαι τύχας. Οὔτε γὰρ ἡμῖν ἕτερον ἐν οὐδὲν οὕτως ἔχουσι λείπεται, τό τε χρῆμα τοιοῦτον οἷον οἰμωγὰς κινεῖν ὅσαι ὧραι καὶ δάκρυα.

---

1. γ' Μ: γε ΝΠΒΑ: 2. ἐκείνων ΝΠΒΑ: ἐκείνων ἐκ τοῦ τὸ πρῶτον γραφέντος ἐκείνοιν Μ δύνασθαι ἐν τῷ κειμένῳ ΝΠΒΑ: δύνασθαι πρόςθετον ἄνωθεν Μ 3. αἰεὶ ΠΒΑΜ: ἀεὶ Ν 12. τῷ ὄντι ἔγραψα: τῶόντι Π: τῶόντι Ν: τωόντι ΒΑ: τωόντι Μ εἰ πάντα ΝΒΑΜ: ἀπάντα Π ξυντεθνήκει ΠΑΜ: ξυνετεθνήκει ΝΒ 13. (δίς) τίς ΝΜ: τὶς ΠΒΑ 18. ξυναυλίαν ΝΒΑΜ: ξυραυλί Π 21 Μετὰ τὴν λέξιν δάκρυα ἕπονται τάδε Τέλος τῆς μονῳδίας Α: λείπουσι ΝΠΒΜ

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2007